ἐὰν μὴ ὁ ἀδελφὸς ὑμῶν ὁ νεώτερος μεθ᾽ ὑμῶν ᾖ. [4]εἰ μὲν οὖν 4
ἀποστέλλεις τὸν ἀδελφὸν ἡμῶν μεθ᾽ ἡμῶν, καταβησόμεθα καὶ ἀγορά-
σωμέν σοι βρώματα· [5]εἰ δὲ μὴ ἀποστέλλεις τὸν ἀδελφὸν ἡμῶν 5
μεθ᾽ ἡμῶν, οὐ πορευσόμεθα· ὁ γὰρ ἄνθρωπος εἶπεν ἡμῖν λέγων
Οὐκ ὄψεσθέ μου τὸ πρόσωπον, ἐὰν μὴ ὁ ἀδελφὸς ὑμῶν ὁ νεώ-
τερος μεθ᾽ ὑμῶν ᾖ. [6]εἶπεν δὲ Ισραηλ Τί ἐκακοποιήσατέ με ἀναγ- 6
γείλαντες τῷ ἀνθρώπῳ εἰ ἔστιν ὑμῖν ἀδελφός; [7]οἱ δὲ εἶπαν Ἐρω- 7
τῶν ἐπηρώτησεν ἡμᾶς ὁ ἄνθρωπος καὶ τὴν γενεὰν ἡμῶν λέγων
Εἰ ἔτι ὁ πατὴρ ὑμῶν ζῇ; εἰ ἔστιν ὑμῖν ἀδελφός; καὶ ἀπηγγεί-
λαμεν αὐτῷ κατὰ τὴν ἐπερώτησιν ταύτην. μὴ ᾔδειμεν εἰ ἐρεῖ
ἡμῖν Ἀγάγετε τὸν ἀδελφὸν ὑμῶν; [8]εἶπεν δὲ Ιουδας πρὸς Ισραηλ 8
τὸν πατέρα αὐτοῦ Ἀπόστειλον τὸ παιδάριον μετ᾽ ἐμοῦ, καὶ ἀνα-
στάντες πορευσόμεθα, ἵνα ζῶμεν καὶ μὴ ἀποθάνωμεν καὶ ἡμεῖς καὶ
σὺ καὶ ἡ ἀποσκευὴ ἡμῶν. [9]ἐγὼ δὲ ἐκδέχομαι αὐτόν, ἐκ χειρός μου 9
ζήτησον αὐτόν· ἐὰν μὴ ἀγάγω αὐτὸν πρὸς σὲ καὶ στήσω αὐτὸν
ἐναντίον σου, ἡμαρτηκὼς ἔσομαι πρὸς σὲ πάσας τὰς ἡμέρας. [10]εἰ 10
μὴ γὰρ ἐβραδύναμεν, ἤδη ἂν ὑπεστρέψαμεν δίς. [11]εἶπεν δὲ αὐτοῖς 11
Ισραηλ ὁ πατὴρ αὐτῶν Εἰ οὕτως ἐστίν, τοῦτο ποιήσατε· λάβετε
ἀπὸ τῶν καρπῶν τῆς γῆς ἐν τοῖς ἀγγείοις ὑμῶν καὶ καταγάγετε
τῷ ἀνθρώπῳ δῶρα, τῆς ῥητίνης καὶ τοῦ μέλιτος, θυμίαμα καὶ
στακτὴν καὶ τερέμινθον καὶ κάρυα. [12]καὶ τὸ ἀργύριον δισσὸν 12
λάβετε ἐν ταῖς χερσὶν ὑμῶν· τὸ ἀργύριον τὸ ἀποστραφὲν ἐν τοῖς
μαρσίπποις ὑμῶν ἀποστρέψατε μεθ᾽ ὑμῶν· μήποτε ἀγνόημά ἐστιν.
[13]καὶ τὸν ἀδελφὸν ὑμῶν λάβετε καὶ ἀναστάντες κατάβητε πρὸς τὸν 13
ἄνθρωπον. [14]ὁ δὲ θεός μου δῴη ὑμῖν χάριν ἐναντίον τοῦ ἀνθρώ- 14
που, καὶ ἀποστείλαι τὸν ἀδελφὸν ὑμῶν τὸν ἕνα καὶ τὸν Βενιαμιν·
ἐγὼ μὲν γάρ, καθὰ ἠτέκνωμαι, ἠτέκνωμαι.
[15]Λαβόντες δὲ οἱ ἄνδρες τὰ δῶρα ταῦτα καὶ τὸ ἀργύριον διπλοῦν 15
ἔλαβον ἐν ταῖς χερσὶν αὐτῶν καὶ τὸν Βενιαμιν καὶ ἀναστάντες
κατέβησαν εἰς Αἴγυπτον καὶ ἔστησαν ἐναντίον Ιωσηφ. [16]εἶδεν δὲ 16
Ιωσηφ αὐτοὺς καὶ τὸν Βενιαμιν τὸν ἀδελφὸν αὐτοῦ τὸν ὁμομή-
τριον καὶ εἶπεν τῷ ἐπὶ τῆς οἰκίας αὐτοῦ Εἰσάγαγε τοὺς ἀνθρώ-
πους εἰς τὴν οἰκίαν καὶ σφάξον θύματα καὶ ἑτοίμασον· μετ᾽ ἐμοῦ
γὰρ φάγονται οἱ ἄνθρωποι ἄρτους τὴν μεσημβρίαν. [17]ἐποίησεν 17
δὲ ὁ ἄνθρωπος, καθὰ εἶπεν Ιωσηφ, καὶ εἰσήγαγεν τοὺς ἀνθρώπους
εἰς τὸν οἶκον Ιωσηφ. — [18]ἰδόντες δὲ οἱ ἄνθρωποι ὅτι εἰσήχθησαν 18
εἰς τὸν οἶκον Ιωσηφ, εἶπαν Διὰ τὸ ἀργύριον τὸ ἀποστραφὲν ἐν τοῖς
μαρσίπποις ἡμῶν τὴν ἀρχὴν ἡμεῖς εἰσαγόμεθα τοῦ συκοφαντῆσαι
ἡμᾶς καὶ ἐπιθέσθαι ἡμῖν τοῦ λαβεῖν ἡμᾶς εἰς παῖδας καὶ τοὺς

43 3 μεθ υμων η] καταβη προς με A† || 6 με M] > A*, μοι Ac† || 7 ταυτην] αυτου A† || 16 ειπεν M] ενετειλατο A | εισαγαγειν A† || 17 τον οικον M] την οικιαν A || 18 εισηχθησαν M] εισηνεχθ. A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/123 UNIVERSITÄT LEIPZIG